# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: oyw-aa

*Ψευδο-Ἱπποκράτης* · Pseudo-Hippocrates

## Letter to King Ptolemy-the Fabric of Man

*Ἐπιστολὴ πρὸς βασιλέα Πτολεμαῖον περὶ κατασκευῆς*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Ἐπιστολή* Epistle

**ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΠΤΟΛΕΜΑΙΟΝ ΒΑΣΙΛΕΑ ΠΕΡΙ ΚΑΤΑΣΚΕΥΗΣ ΑΝΘΡΩΠΟΥ Συνέστηκεν ὁ κόσμος ἐκ στοιχείων τεσσάρων, οἷον πυρὸς, ἀέρος, ὕδατος, γῆς· τουτέστιν ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ· συνέστηκε δὲ καὶ ὁ ἄνθρωπος ἐκ τῶν αὐτῶν τεσσάρων στοιχείων· οἷον ἐξ αἵματος καὶ φλέγματος, καὶ ξανθῆς χολῆς καὶ μελαίνης.**

279 καὶ τὸ μὲν αἷμα ἔοικε τῷ ἀέρι, τὸ δὲ φλέγμα τῷ ὕδατι, ἡ δὲ ξανθὴ χολὴ τῷ πυρὶ, ἡ δὲ μέλαινα τῇ γῇ· ἔστι δὲ τῇ μὲν γεύσει τὸ αἷμα γλυκὺ, τὸ δὲ φλέγμα ἁλμυρὸν, ἡ δὲ ξανθὴ χολὴ πικρὰ, ἡ δὲ μέλαινα ὀξίζουσα. Ἔστι δὲ ἡ πηγὴ τοῦ αἵματος εἰς τὴν καρδίαν, καὶ εἰς αὐτὸ τὸ πνεῦμα· ἐκ δεξιῶν τῆς καρδίας τὸ αἷμα, ἐξ εὐωνύμων τὸ πνεῦμα· ἡ ξανθὴ χολὴ εἰς τὸ ἧπαρ, ἡ δὲ μέλαινα εἰς τὸν σπλῆνα, καὶ τὸ φλέγμα εἰς τὸν ἐγκέφαλον. [10]

281 καὶ ἔστι τὸ μὲν αἷμα θερμὸν καὶ ὑγρόν· τὸ δὲ φλέγμα ψυχρὸν καὶ ὑγρόν· ἡ ξανθὴ χολὴ θερμὴ καὶ ξηρά· ἡ δὲ μέλαινα ξηρὰ καὶ ψυχρά. αἱ δὲ ἀρτηρίαι ἐκ τῆς καρδίας λαμβάνουσιν αἵματος καθαροῦ καὶ πνεύματος, αἱ δὲ φλέβες αἵματος λαμβάνουσι καὶ αὐταὶ ἐκ τῆς καρδίας· δι' αὐτῆς γὰρ χορηγεῖται τὸ πᾶν σῶμα, ἀλλὰ χορηγεῖ τὸ ἧπαρ τῇ καρδίᾳ αἵματος πλείστου· οὐδὲ γὰρ δύναται τὸ πῦρ χωρὶς ὕλης μεῖναι. Καὶ μὴ ἀπιστήσῃς τοῦτο, ὅθεν οἱ μὲν τῶν ἀνθρώπων γελῶσι πάντη, οἱ δὲ στυγνιῶσι· τῶν στοιχείων δὲ λέγομεν τὴν αἰτίαν εἶναι. ὅσοι γὰρ αἵματος καθαροῦ τυγχάνουσιν, οὗτοι πάντη γελῶσι καὶ ἀνθηροὶ τῇ ὄψει καὶ τῷ σώματι εἰσὶ πάντοθε καλόχροοι. οἱ δὲ ξανθῆς χολῆς ὄντες γίνονται ῥᾴθυμοι, ὀλιγόψυχοι, δειλοὶ, φιλάσθενοι, οἱ δὲ φλεγματικοὶ γίνονται ὀκνηροὶ, ψυχροί. Τὸ δὲ μνημονεύειν καὶ ῥᾶστα φρονεῖν ἐκ τοῦ εὐκράτου ἐγκεφάλου, (τουτέστι τοῦ μέσως ἔχοντος, μήτε θερμοῦ, μήτε ψυχροῦ,) ἡ δὲ λήθη ἐκ τοῦ ψυχροῦ ἐγκεφάλου γίνεται· διὸ τὸ πάθος τὸ λεγόμενον φρενῖτις ἀπὸ πυρετῶν καυστικῶν γίνεται· τῆς γὰρ ἀτμίδος ἐκ τῶν σπλάγχνων διὰ τῶν μεταφρένων ἀναπεμπομένης τῷ ἐγκεφάλῳ ξηραίνεται τὸ ὑγρὸν τοῦ ἐγκεφάλου καὶ γίνεται φρενῖτις, (τουτέστι παράφρων ὁ ἄνθρωπος) καὶ χρὴ ψυκτικοῖς ἐλαίοις ἐμβρέχειν τὸν ἐγκέφαλον καὶ διὰ ῥινῶν καὶ δι' ἐμέτων. [5]

283 Ὁ δὲ λήθαργος πάθος ἐστὶ καὶ αὐτὸ τοῦ ἐγκεφάλου· ὅταν γὰρ ψυχρῶν χυμῶν πληρωθῇ ὁ ἐγκέφαλος, τότε τὸ πάθος τὸ λεγόμενον λήθαργος παρακολουθεῖ τῷ ἀνθρώπῳ. καὶ χρὴ τῶν θερμαινόντων προσφέρειν χρίσιν τῷ ἐγκεφάλῳ. ἡ δὲ παράλυσις ἡ γινομένη εἰς ὀφθαλμὸν, ἢ εἰς χεῖλος, ἢ εἰς ὅλον τὸ ἥμισυ τῆς ὄψεως ἀπὸ ψυχροῦ καὶ ὠμοῦ χυμοῦ γίνεται παραπεμπομένου ἐκ τοῦ ἐγκεφάλου, καὶ χρὴ ἐνεγκεῖν διὰ ῥινῶν τὸ καθαῖρον τὸν ἐγκέφαλον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἔξωθεν ἀτμοῖς πυρὸς ἐκθλίβειν μᾶλλον ἢ καυτῆρσι κατὰ τῶν ὠτίων. ὅσα δὲ πάθη γίνονται ἐν τῇ κεφαλῇ ἐκ τοῦ στομάχου ἔχει τὰς ἀρχάς· ὥσπερ δὴ ἀποστήματα, ὀφθαλμίαι, πόνοι ὀδόντων, παρίσθμια, σταφυλὴ, βράγχοι, δύσπνοια, κ. τ. λ. Ἔχει δὲ ἡ κεφαλὴ ῥαφὰς πέντε, εὑρίσκεται δὲ καὶ μονοφυὴς κεφαλὴ μὴ κεκτημένη ῥαφὴν, καί ἐστιν ἡ τοιαύτη ὑγιής. οὐλόθριξ δὲ γίνεται ὅταν θερμοτέρα ἐστὶν ἡ κεφαλὴ, ἁπλόθριξ δὲ ἐκ τοῦ περισσοῦ ὑγροῦ, τοῦ ἐν τῇ κεφαλῇ, ξανθότης τριχῶν ἐκ τῆς ξανθῆς χολῆς, φαλάκρωσις δὲ ἐκ τοῦ θερμοῦ γίνεται. [20]

285 Διαφοραὶ σφυγμοῦ εἰσι τέσσαρες· πλατὺς, βραχὺς, πινὸς, μέσος. ταῦτα ἐκ τοῦ πνεύματος. Τὸ δὲ ἧπαρ αὐτὸ χυλοποιεῖ τὴν τροφὴν διὰ τριῶν πέψεων· εἰς τὴν πρώτην πέψιν λαμβάνει τὴν πιότητα τῆς τροφῆς (τουτέστι τὸ νόστιμον) ἡ καρδία, καὶ γίνεται αἵματος καθαροῦ πρόσθεσις. δευτέρα πέψις· λαμβάνει τὸ ἧπαρ καὶ τρέφει τὰ μόρια τοῦ σώματος, καὶ γεννᾶται ξανθὴ χολή· ὁ δὲ σπλὴν ἐκ τῆς κοράσεως τοῦ σώματος τρέφεται καὶ γεννᾶται ὁ μελαγχολικὸς χυμός· ὁ δὲ ἐγκέφαλος ἐκ τοῦ στομάχου ὑγραίνεται καὶ πλεονάζει τὸ φλέγμα. τρίτη πέψις· χυλοποιεῖται ἡ τροφὴ ἄνω εἰς τὸν στόμαχον· καὶ τότε ἀνοίγεται ὁ πυλωρὸς, ὃς καὶ νῆστις καλεῖται, ἐπειδὴ πάροδον μόνον ποιεῖται ἐκεῖθεν ἡ τροφὴ καὶ κατέρχεται εἰς τὴν κάτω κοιλίαν. ἡ δὲ κοιλία γεγανωμένη ἐστὶ φλέγματι διὰ τὴν δριμύτητα τῶν σιτίων. τὸ δὲ οὖρον διὰ τῶν νεφρῶν κατέρχεται, καὶ διὰ τῶν οὐρητήρων τῶν ἀποκειμένων εἰς τὴν κύστιν (τουτέστι τὴν φούσκαν), εἰσέρχεται εἰς τὴν κύστιν τὸ ὕδωρ. Αἰσθητήρια δέ ἐστιν ἐν τῷ ἀνθρώπῳ πέντε· ὅρασις, ὄσφρησις, ἀκοὴ, γεῦσις καὶ ἁφή· ἡ μὲν ὅρασις ἐκ τοῦ αἰθέρος, ἡ δὲ ὄσφρησις ἐκ τοῦ ἀέρος, ἡ δὲ ἀκοὴ ἐκ τοῦ πυρὸς, ἡ δὲ γεῦσις ἐκ τοῦ ὑγροῦ, ἡ δὲ ἁφὴ ἐκ τῆς γῆς. [5]

287 Δυνάμεις εἰσὶ τῆς ψυχῆς πέντε· νοῦς, διάνοια, δόξα, φαντασία καὶ αἴσθησις. Συνέστηκεν δὲ ὁ ἄνθρωπος ἐκ τινῶν δεκατεσσάρων· ἤγουν νεύρων, φλεβῶν, ἀρτηριῶν, αἵματος, πνεύματος, σαρκὸς, πιμελῆς, χόνδρων, ὀνύχων, ὀστέων, χυμῶν, μυελῶν, τριχῶν καὶ ὑμένων. Γίνονται δὲ αἱ ἐκκρίσεις τούτων τοῖς μὲν ἀνδράσι διὰ κοιλίας, δι' ἐμέτων, δι' ὀφθαλμῶν, διὰ μυκτήρων, διὰ πτυελῶν, δι' ἱδρώτων, διὰ τῶν ἀφροδισίων, διὰ τῶν ἀδήλων πόρων, διὰ τριχῶν, δι' ὤτων. Ταῖς δὲ γυναιξὶ προστίθεται καὶ δύο· διὰ τοῦ γάλακτος καὶ διὰ τῶν ἐμμήνων. Τὸ δὲ γάλα αἷμά ἐστιν· ὁμοίως δὲ καὶ ἡ γονὴ, (τουτέστιν ὁ σπόρος τοῦ ἀνθρώπου). Καὶ μὴ ἀπιστήσῃς, ἐὰν γὰρ βιάσηται ὁ ἄνθρωπος εἰς τὴν μίξιν, αἵμα ἐκκρίνει. ὁμοίως δὲ καὶ ἡ γυνὴ ἐὰν βιάσηται τὸ θηλύδριον αὐτῆς αἵμα ἐξέρχεται. Σπονδύλους δὲ ἔχει ἡ ῥάχις τοῦ ἀνθρώπου εἴκοσι τέσσαρας, πλευρὰ εἴκοσι τέσσαρα· ὀδόντας καὶ γόμφους τριάκοντα δύο· οἱ ἔμπροσθεν ὀδόντες διχαστῆρες οἱ καὶ τομεῖς. [20]

289 ὁ στόμαχος ἔχει παλαιστὰς πέντε, τὸ δὲ ἔντερον ἔχει πήχεις τρεῖς καὶ δέκα. ὀνόματα δακτύλων, ἀντίχειρ, λιχανὸς, μέσος (ὃς καὶ σφάκελος), παράμεσος (ὃς καὶ ἐπιβάτης), καὶ μικρὸς (ὃς καὶ μύωψ). οἱ ὄνυχες δὲ ξηρᾶς καὶ ψυχρᾶς κράσεώς εἰσιν. Τροπαὶ δὲ ὡσαύτως ἐν τῷ ἐνιαυτῷ τέσσαρες· ἐὰρ, θέρος, μετόπωρον καὶ χειμών. ἔχει δὲ ἡ τροπὴ ἡμέρας ἐννενήκοντα καὶ μίαν. Τὸ ἔαρ θερμὸν καὶ ὑγρὸν, διὰ τοῦτο καὶ αὔξησις αἵματος εἰς τὰ σώματα· τὸ θέρος θερμὸν καὶ ξηρὸν, διὸ καὶ αὔξει ξανθὴν χολήν· τὸ μετόπωρον ψυχρὸν καὶ ξηρὸν, αὔξει δὲ μέλαιναν χολὴν καὶ ἰχῶρας· οἱ δὲ ἰχῶρές εἰσιν αἱματώδεις καὶ ὑδατώδεις· τῷ δὲ χειμῶνι τὸ φλέγμα πλεονάζει ἐν τῷ σώματι. Τὰ γὰρ τέσσαρα στοιχεῖα τοῦ ἀνθρώπου πρὸς τοὺς τέσσαρας καιροὺς τοῦ ἐνιαυτοῦ διαιροῦνται. διὸ χρὴ θεωρεῖν τὴν τροπὴν, τὴν ἡλικίαν καὶ τὴν κρᾶσιν τοῦ νοσοῦντος καὶ πρὸς ταῦτα ἰατρεύειν. Καὶ ἐὰν ἐν τῷ ἔαρι νοσῇ τις νέος αἵματος πλῆθός ἐστι καὶ χρὴ φλεβοτομεῖν τὸν ἄνθρωπον, καὶ πλευρῖτις ἐάν ἐστι μιᾶς ἡμέρας ἢ δύο ἢ τριῶν φλεβοτόμησον τὸν νοσοῦντα, πρινὴ τὸ πάθος κρατήσῃ καὶ αἱ δυνάμεις καταπέσωσιν· ὠφέλιμον γάρ ἐστι τὸ φλεβοτομεῖν τῷ ἀνθρώπῳ. [20]

291 καὶ ὁ καιρὸς ὁ θέλων φλεβοτομεῖσθαι ἀρχέσθω ἀπὸ Περιτταίου μηνὸς (τουτέστι Φευρουαρίου) εἰς τὰς δέκα πέντε ἕως τοῦ Γορπιαίου μηνὸς δεκάτης· καὶ πάλιν ἀρχέσθω ἀπὸ τῶν δέκα τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Γορπιαίου μηνὸς, (τουτέστι τοῦ Σεπτευβρίου) ἕως τῆς ἑπτακαιδεκάτης τοῦ Δεκεμβρίου. εἰ δὲ ἐν τῷ θερινῷ καιρῷ νοσεῖ τις εἰς τὴν ἀρχὴν τοῦ πάθους χρὴ καθαίρεσθαι. Ἡμεῖς δὲ στοχαζόμενοι, ὦ βασιλεῦ, καὶ τῆς ὑγείας φροντίζοντες νῦν φιλοσοφοῦμεν τὸ κράτιστον εἰς δίαιταν σωμάτων καθηκόντως τρέφειν τε καὶ διατίθεσθαι.

293 ἀκριβῶς οὖν κατανοήσαντες τὰ συμβαίνοντα ἀῤῥωστήματα ἐν τῷ ἀνθρωπίνῳ σώματι καθ’ ἕκαστον ἄστρον τε καὶ ὥραν καὶ καιρὸν προστετάχαμέν σοι καὶ ἀναγράψαντες ἐν κεφαλαίῳ σφαῖραν ἰατρικὴν πέμπομέν σοι, δι’ ἧς ἂν προγινώσκοις τὰ μέλλοντα γίνεσθαι πάθη τῷ ἀνθρωπίνῳ σώματι κατὰ τὴν ἐνεστῶσαν ὥραν καὶ τοῦ ἐπιτελευταίου ἐνιαυτοῦ, ἔχων τὸν καιρὸν βοηθόν. Σὺ δὲ εἴ τι ἐπιμελούμενος διατελέσειας, ὡς ἐπὶ τὸ πολύ τε ἄνοσος μένων βιοῖς τὸ ἐπίλοιπον τοῦ χρόνου μέτρον καὶ μάλιστα ὑπὲρ τὴν τῆς ὑγείας δύναμιν, καὶ ὁποῖα ὠφέλιμα ὑπάρχει τῷ τῶν ἀνθρώπων γένει καὶ ἐν πᾶσιν ἀγαθοῖς ἔχοντα, ὑπὲρ ὧν δὴ σφόδρα ἐστὶν ὁ λόγος τῆς σφαίρας καὶ γεγραφὼς ταύτην παρέχω σοι. Ἀπὸ Πλειάδων δύσεως . . . χειμερινῆς ἡμέραι τεσσαράκοντα πέντε, ἀπὸ Ἀπιλλαίου (τουτέστι Δεκεμβρίου) μηνὸς τρισκαιδεκάτης (καὶ αὖθις) εἰς τὰς εἴκοσι καὶ ἕξ τοῦ Ἀδυναίου (τουτέστιν Ἰανουαρίου) μηνός. Αὗται αἱ ἡμέραι αὔξουσι τὸ φλέγμα· χρῶ δὲ τοῖς λουτροῖς νῆστις ἱδρῶν καὶ ἀποματτόμενος, χρῶ δὲ καὶ ἀφροδισίοις καὶ πόνοις. Ἀπὸ τροπῶν τῶν χειμερινῶν ἕως ἰσημερίας ἐαρινῆς ἡμέραι ἐννενήκοντα δύο ὡς ἀπὸ Ἀδυναίου (τουτέστιν Ἰανουαρίου) εἰκοστῆς ἑβδόμης ἕως Ξανθικοῦ (τουτέστιν Ἀπριλλίου) εἰς τὰς εἴκοσιν ὀκτώ.

295 Αὗται αἱ ἡμέραι αἴρουσιν ὑγρασίαν καὶ πλῆθος αἵματος· χρῶ δὲ περιπάτοις καὶ λουτροῖς καὶ ξηροῖς ἐδέσμασι καὶ τροφαῖς καὶ ἀφροδισίοις καὶ πόνοις. Ἀπὸ ἰσημερίας ἐαρινῆς ἕως Πλειάδος ἀνατολῆς ἡμέραι τεσσαράκοντα ὀκτὼ ἀπὸ Ἀπριλλίου εἰκοστῆς ὀγδόης ἕως Δαισίου (τουτέστιν Ἰουνίου) εἰς τὰς ἑκκαίδεκα. Αὗται αἱ ἡμέραι αὔξουσιν αἷμα· χρῶ δὲ οἴνοις εὐώδεσι καὶ ἀφροδισίοις καὶ πόνοις. Ἀπὸ δὲ Πλειάδος ἀνατολῆς ἕως τροπῶν θερινῶν ἡμέραι τεσσαράκοντα δύο, ἀπὸ μηνὸς Δαισίου (τουτέστιν Ἰουνίου) εἰς τὰς ἑπτακαίδεκα ἕως Πανέμου (τουτέστιν Ἰουλίου) εἰκοστῆς ὀγδόης. Αὗται αἱ ἡμέραι ξανθὴν χολὴν τρέφουσιν· χρῶ δὲ τοῖς γλυκέσι καὶ ὑδαροῖς, κοιλίας ἐπιμελούμενος καὶ ἀπεχόμενος ἀφροδισίων καὶ πόνων. Ἀπὸ δὲ τροπῶν θερινῶν ἕως ἰσημερίας μετοπωρινῆς ἡμέραι ἐννενήκοντα δύο, ἀπὸ Πανέμου (τουτέστιν Ἰουλίου) εἰς τὰς εἴκοσι καὶ ὀκτὼ ἕως Ὑπερβερεταίου (τουτέστιν Ὀκτωβρίου) εἰκοστῆς ὀγδόης.

297 Αὗται αἱ ἡμέραι αὔξουσι χολὴν μέλαιναν· χρῶ δὲ τοῖς ψυχροῖς ὑδαρέσιν, οἴνοις εὐώδεσι καὶ τοῖς ἁλυκοῖς, ἀφροδισίων ἀπεχόμενος. Ἀπὸ ἰσημερίας μετοπωρινῆς ἕως Πλειάδος δύσεως ἡμέραι τεσσαράκοντα πέντε, ἀπὸ Ὑπερβερεταίου (τουτέστιν Ὀκτωβρίου) εἰκοστῆς ὀγδόης, ἕως Ἀπιλλαίου (τουτέστι Δεκεμβρίου) δωδεκάτης. Αὗται αἱ ἡμέραι αὔξουσιν ἰχῶρας· χρῶ δὲ ὀξέσι καὶ δριμέσι καὶ ἀφροδισίοις καὶ πόνοις. Ταῦτα δὴ παραφυλαξάμενος, ὦ βασιλεῦ, ζήσεις ἀλύπως καὶ ἀπόνως τὸν ἐπίλοιπον χρόνον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org